# *Ἐγκώμιον τοῦ Ἑλληνικοῦ Εἰδυλλίου*

*Χαλεπὸν μέν, ὦ ἄνδρες γυναῖκές τε Ἑλληνικώτατοι, αἰτίας τοῦ τὸν Ἑλληνικὸν Εἰδύλλιον ἐπαινεῖν εὑρίσκειν ἱκανὰς οὐκ ἐστιν, μᾶλλον δ᾽ ἔργον ἥδιστον εἶναί μοι δοκεῖ, ἀλλὰ τοὺς λόγους τοὺς τούτου τοῦ Εἰδυλλίου ἀξίους ποιεῖσθαι χαλεπώτατον, ὅτι οὔτε πρὸς τοσούτους τοιούτους τε τοὺς τῆς Ἑλληνικῆς φωνῆς ἐμπειροτάτους καὶ κάλλιστα πεπαιδευμένους εἴωθα λέγειν οὔτ᾽ εἰμι τὸ γένος αὐτὸς Ἕλλην. Διὰ δὴ τοῦθ᾽, ὦ ἀκριβέστατοι δικασταί, συγγνώμην, ἀντιβολῶ ὑμᾶς, ἔχετέ μοι μέγα μὲν ἔργον, ἀλλὰ διὰ βραχυτάτων τελεῖν πειρασομένῳ. Φέρε δή, τέτταρες οὖν αἰτίαι εἰσίν, ἃς ἐκ ἄλλων πολλῶν ἑλὼν ἐρῶ, τοῦ ἐπαινεῖν ἀξιωτάται· ὁ τόπος, τὰ πέριξ, οἱ ἄνθρωποι, τὸ ἔργον. Ἄρξομαι δὲ τοῦ τόπου. Τοῦτον γὰρ τὸν τόπον, ὡς ἐμοίγε δοκεῖν, τὸν διὰ τὸ καθ᾽ ἡμέραν ἔθος εὐγνωστότατον οὐ δεῖ ἀναμιμνήσκειν ὑμᾶς. Φανερὸς γάρ ἐστιν ἡμῖν τὸ νῦν ἐνταῦθα παροῦσι. Ἀλλὰ περιβλέπετε καὶ ὄψεσθε τὰ ἐνταῦθα θαύματα· τὰ φυτὰ τὰ πᾶσι χρώμασι ἀνθοῦντα, τὰ δένδρα, τὰ ῥόδα ἢ λέγοιμι ἂν ἐν τῇ νέᾳ φωνῇ τὰς τριανταφυλλίδας; ταῦτα μὲν ὁρᾶν δυνάμεθα καὶ ἄλλα πολλά, ἀρέσκουσιν δ᾽ ἡμῖν ἀνδράσι γυναιξίν τε φιλοσοφωτάτοις οὖσι καὶ τὰ μόνον ἐν τῷ νῷ ὄντα. Καὶ τούτων γε μάλιστα, ὅτι ἐν τῇ Ἑλλάδι ὄντες τυγχάνομεν τῇ πολλῶν καλῶν κἀγαθῶν ἀνδρῶν*

*πατρίδι καὶ τῶν ποιητῶν καὶ τῶν ἱστορικῶν καὶ τῶν φιλοσόφων. Ἀλλὰ τί ὄφελος πάντα τὰ ὀνόματα λέγειν πάντων τῶν Ὁμήρων, τῶν Ἡροδότων, τῶν Πλατόνων. Ἆρ᾽ οὐχ ἡμεῖς εἰς τοῦτον τὸν τόπον ἀφικόμενοι ταὐτὸ πράττομεν αὐτοῖς; Ἆρ᾽ οὐ καὶ ἡμεῖς χώραν τινὰ καλὴν ζητήσαμεν, ἵνα ἐν ἡσυχίᾳ φιλοσοφοῖμεν καὶ ἀττικίζοιμεν; Ναί. Ἐμπνεόμεθα γὰρ ὑπὸ τούτου τοῦ τῶν Μουσῶν καλουμένου κήπου καὶ δὴ καὶ τῶν περὶ αὐτὸν· ὑπὸ τῆς θαλάττης, τῶν ὀρέων, τῶν ἐνθάδε ἀνθρώπων. Τί γὰρ τὸ Ἑλληνικὸν Εἰδύλλιον ἄνευ τῶν αὐτὸ οἰκούντων ἀνθρώπων ἂν ἦν, οἳ ἐκ ἅπαντος τοῦ κόσμου ἦλθον ὡς ὁμοῦ ταῖς Μούσαις ἔργα ἐργασόμενοι. Τί λόγων δεῖ λέγειν, πῶς τῇ ὁμιλίᾳ αὐτῶν ἡδόμην; Πόσαι χαριεστάται κόραι. Ἀλλ᾽ εἰ μὲν μὴ πάντας καὶ πάσας ὀνομάζειν δύναμαι, τούτους δὲ τοὺς ἀμφοτέρους ἐρῶ· τὸν μέγαν Ἀνδρέαν καὶ τὸν σοφώτατον Λευκόθυμον. Χάριν οὖν οἶδα μεγίστην σοι, ὦ κυριώτατε Ἀνδρέα, ὅτι ἡμῖν τὸν οἶκόν σου παρεῖχες, καὶ χάριν σοι, ὦ Λευκόθυμε, πάντων ὧν ἔγνων λέγειν δεινότατε, ὅτι καίπερ ἀνέμων μεγάλων πνεόντων ἡμᾶς τὰ πρῶτα τῆς Ἑλληνικῆς γλώττης ἐδίδαξες. Ἐπαινῶ καὶ τὸν Ἀδόλφον τὸν πολλὰ λαλεῖν βουληθέντα, ἀλλὰ τὸν, φεῦ τῆς ἀκριβείας, ἀεὶ κωλυσθέντα. Πάντων οὖν τούτων βοηθησάντων οἷοί τ᾽ ἦμεν ταῦτα τὰ ῥηθέντα ἰδεῖν καὶ ταῦτα τὰ ἔργα ὧν ἀκούετε, ποιῆσαι. Νῦν δὲ δικάζετε αὐτοί. Εἶπον.*